*ΑΙ.* ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.
ΜΗ. χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
κἀγὼ πόλιν σὴν ὡς τάχιστ᾽ ἀφίξομαι,
πράξασ᾽ ἃ μέλλω καὶ τυχοῦσ᾽ ἃ βούλομαι.
ΧΟ. ἀλλά σ᾽ ὁ Μαίας πομπαῖος ἄναξ
πελάσειε δόμοις, ὧν τ᾽ ἐπίνοιαν
σπεύδεις κατέχων πράξειας, ἐπεὶ
γενναῖος ἀνήρ,
*Αἰγεῦ*, παρ᾽ ἐμοὶ δεδόκησαι.
ΜΗ. ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,
νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
γενησόμεσθα κεἰς ὁδὸν βεβήκαμεν·
νῦν ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην.
οὗτος γὰρ ἁνὴρ ᾗ μάλιστ᾽ ἐκάμνομεν
λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
ἐκ τοῦδ᾽ ἀναψόμεσθα πρυμνήτην κάλων,
μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
πέμψασ᾽ ἐμῶν τιν᾽ οἰκετῶν Ἰάσονα
εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
μολόντι δ᾽ αὐτῷ μαλθακοὺς λέξω λόγους,
ὡς καὶ δοκεῖ μοι ταῦτα καὶ καλῶς ἔχει, 777
παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
οὐχ ὡς λιποῦσα πολεμίας ἐπὶ χθονός,
ἀλλ᾽ ὡς δόλοισι παῖδα βασιλέως κτάνω. 783
πέμψω γὰρ αὐτοὺς δῶρ᾽ ἔχοντας ἐν χεροῖν·
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ, 787

---

γάμους τυράννων οὓς προδοὺς ἡμᾶς ἔχει 778
καὶ ξύμφορ᾽ εἶναι καὶ καλῶς ἐγνωσμένα·

ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι, 782

νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα, 785
λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον·

---

755. *βροτοῖς BC* 759. schol. *ταῦτα ἔνιοι τῷ χορῷ, ἔνιοι τῇ Μηδείᾳ προσνέμουσι.* 767. *νῦν*] Matthiae, *νῦν δ᾽* libri. 779. *καλῶς εἰργασμένα BC* 785. *τήνδε μή*] v. l. *δῆθε μή. φυγεῖν BC*